Aristophanes’ Clouds 889-1112, abridged

Ο ΚΡΕΙΤΤΩΝ ΛΟΓΟΣ
χώρει δευρί· δεῖξον σαυτὸν
τοίσι θεαταῖς καίπερ θρασὺς ὤν.

Ο ΗΤΤΩΝ ΛΟΓΟΣ
ἴθ᾽ὅποι χρῃζεις· πολὺ γάρ μᾶλλον σ᾽
ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.

ΚΡ
ἀπολεῖς σύ; τίς ὤν;

ΗΤ
λόγος.

ΚΡ
ἥττων γ᾽ὤν.

ΗΤ
ἀλλά σε νικῶ
τὸν ἐμοῦ κρείττω φάσκοντ᾽ εἶναι.

ΚΡ
τί σοφὸν ποῖων;

ΗΤ
γνώμας καινὰς ἐξευρίσκων.

ΚΡ
ταῦτα γὰρ ἀνθεῖ
διὰ τουτουσὶ τοὺς ἀνοήτους.

ΗΤ
οὔκ, άλλὰ σοφοὺς.

ΚΡ
ἀπολῶ σε κακῶς.

ΗΤ

Aristophanes' Clouds 889-1112, abridged

εἰπέ, τί ποιῶν;

ΚΡ

τὰ δίκαια λέγων.

ΗΤ

ἀλλ 'ἀνατρέψω ταῦτ' ἀντιλέγων·
οὐδὲ γὰρ εἶναι πάνυ φημὶ Δίκην.

ΚΡ

οὐκ εἶναι φῄς;

ΗΤ

φέρε γάρ, ποῦ 'στίν;

ΚΡ

παρὰ τοῖσι θεοῖς.

ΗΤ

πῶς δῆτα Δίκης οὔσης ὁ Ζεὺς
οὐκ ἀπόλωλεν τὸν πατέρ' αὑτοῦ
δήσας;

ΚΡ

αἰβοῖ, τουτὶ καὶ δὴ
χωρεῖ τὸ κακόν. δότε μοι λεκάνην.

ΗΤ

τυφογέρων εἶ κἀνάρμοστος.

ΚΡ

καταπύγων εἶ κἀναίσχυντος.

ΗΤ

ῥόδα μ' εἴρηκας.

ΚΡ

καὶ βωμολόχος.

[Aristophanes' Clouds](#) 889-1112, abridged

ΗΤ
κρίνεσι στεφανοῖς.

ΚΡ
                                        καὶ πατραλοίας.

ΗΤ
χρυσῷ πάττων μ'οὐ γιγνώσκεις.

ΚΡ
οὐ δῆτα πρὸ τοῦ γ᾽, ἀλλὰ μολύβδῳ.

ΗΤ
νῦν δέ γε κόσμος τοῦτ᾽ ἐστὶν ἐμοι.

ΚΡ
θρασὺς εἶ πολλοῦ.

ΗΤ
                                        σὺ δέ γ᾽ἀρχαῖος.

XXX

ΧΟΡΟΣ
παύσασθε μάχης καὶ λοιδορίας.
ἀλλ᾽ἐπίδειξαι
σύ τε τοὺς προτέρους ἅττ᾽ ἐδίδασκες,
σύ τε τὴν καινὴν
παίδευσιν, ὅπως ἂν ἀκούσας σφῷν
ἀντιλεγόντοιν κρίνας φοιτᾷ.

XXX

νῦν δείξετον τὼ πισύνω
        τοῖς περιδεξίοισιν
λόγοισι καὶ φροντίσι καὶ
        γνωμοτύποις μερίμναις

Aristophanes' Clouds 889-1112, abridged

ὁπότερος αὐτοῖν ἀμεί-
νων λέγων φανήσεται.
νῦν γὰρ ἅπας ἐνθάδε κίν-
δυνος ἀνεῖται σοφίας,
ἧς πέρι τοῖς ἐμοῖς φίλοις
ἐστὶν ἀγὼν μέγιστος.

ἀλλ ʼ ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας,
ῥῆξον φωνὴν ᾗτινι χαίρεις καὶ τὴν σαυτοῦ φύσιν εἰπέ.

ΚΡ
λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο,
ὅτʼ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη ʼνενόμιστο.
πρῶτον μὲν ἔδει παιδὸς φωνὴν γρύξαντος μηδενʼ ἀκοῦσαι·
εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως εἰς κιθαριστοῦ
τοὺς κωμήτας γυμνοὺς ἁθρόους, κεἰ κριμνώδη κατανείφοι.
XXX
ἐν παιδοτρίβου δὲ καθίζοντας τὸν μηρὸν ἔδει προβαλέσθαι
τοὺς παῖδας, ὅπως τοῖς ἔξωθεν μηδὲν δείξειαν ἀπηνές·
εἶτʼ αὖ πάλιν αὖθις ἀνιστάμενον συμψῆσαι καὶ προνοεῖσθαι
εἴδωλον τοῖσιν ἐρασταῖσιν τῆς ἥβης μὴ καταλείπειν.
ἠλείψατο δ ʼ ἂν τοὐμφαλοῦ οὐδεὶς παῖς ὑπένερθεν τότʼ ἄν, ὥστε
τοῖς αἰδοίοισι δρόσος καὶ χνοῦς ὥσπερ μήλοισιν ἐπήνθει.
οὐδ ʼ ἂν μαλακὴν φυρασάμενος τὴν φωνὴν πρὸς τὸν ἐραστὴν
αὐτὸς ἑαυτὸν προαγωγεύων τοῖν ὀφθαλμοῖν ἐβάδιζεν.
οὐδ ʼ ἀνελέσθαι δειπνοῦντʼ ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος,
οὐδ ʼ ἄννηθον τῶν πρεσβυτέρων ἁρπάζειν οὐδὲ σέλινον,
οὐδ ʼ ὀψοφαγεῖν οὐδὲ κιχλίζειν οὐδ ʼ ἴσχειν τὼ πόδ ʼ ἐναλλάξ.
XXX
πρὸς ταῦτʼ , ὦ μειράκιον, θαρρῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ.
κἀπιστήσει μισεῖν ἀγορὰν καὶ βαλανείων ἀπέχεσθαι,
καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι κἂν σκώπτῃ τίς σε φλέγεσθαι.
καὶ τῶν θάκων τοῖς πρεσβυτέροις ὑπανίστασαι προσιοῦσιν,
καὶ μὴ περὶ τοὺς σαυτοῦ γονέας σκαιουργεῖν, ἄλλο τε μηδὲν
αἰσχρὸν ποιεῖν....
XXX
ἢν ταῦτα ποῇς ἁγὼ φράζω
καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν

Aristophanes’ Clouds 889-1112, abridged

ἕξεις αἰεὶ
στῆθος λιπαρόν, χροιὰν λαμπράν,
ὤμους μεγάλους, γλῶτταν βαιάν,
πυγὴν μεγάλην, πόσθην μικράν·
ἢν δ᾽ἅπερ οἱ νῦν ἐπιτηδεύῃς,
πρῶτα μὲν ἕξεις
χροιὰν ὠχράν, ὤμους μικρούς,
στῆθος λεπτόν, γλῶτταν μεγάλην,
κωλῆν μικράν, ψήφισμα μακρόν,
καί σ᾽ἀναπείσει τὸ μὲν αἰσχρὸν ἅπαν
καλὸν ἡγεῖσθαι, τὸ καλὸν δ᾽αἰσχρόν,
καὶ πρὸς τούτοις τῆς Ἀντιμάχου
καταπυγοσύνης ἀναπλήσει.

ΧΟ
ὦ καλλίπυργον σοφίαν
            κλεινοτάτην ἐπασκῶν,
ὡς ἡδύ σου τοῖσι λόγοις
            σῶφρον ἔπεστιν ἄνθος.
εὐδαίμονες ἄρ᾽ ἦσαν οἱ ζῶντες τότε.
πρὸς τάδε σ᾽, ὦ κομψοπρεπῆ μοῦσαν ἔχων,
δεῖ σε λέγειν τι καινόν, ὡς
            ηὐδοκίμηκεν ἁνήρ.
δεινῶν δέ σοι βουλευμάτων ἔοικε δεῖν πρὸς αὐτόν,
εἴπερ τὸν ἄνδρ᾽ ὑπερβαλεῖ καὶ μὴ γέλωτ᾽ ὀφλήσεις.

ΗΤ
καὶ μὴν πάλαι ᾽γω ᾽πιγνόμην τὰ σπλάγχνα κἀπεθύμουν
ἅπαντα ταῦτ᾽ ἐναντίαις γνώμαισι συνταράξαι.
ἐγὼ γὰρ ἥττων μὲν λόγος δι᾽ αὐτὸ τοῦτ᾽ ἐκλήθεν
ἐν τοῖσι φροντισταῖσιν, ὅτι πρώτιστος ἐπενόησα
τοῖσιν νόμοις καὶ ταῖς δίκαις τἀναντί᾽ ἀντιλέξαι.
καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ᾽ ἄξιον στατήρων,
αἱρούμενον τοὺς ἥττονας λόγους ἔπειτα νικᾶν.
XXX
σκέψαι γάρ, ὦ μειράκιον, ἐν τῷ σωφρονεῖν ἅπαντα
ἅνεστιν, ἡδονῶν θ᾽ὅσων μέλλεις ἀποστερεῖσθαι·
παίδων, γυναικῶν, κοττάβων, ὄψων, πότων, καχασμῶν.

Aristophanes' Clouds 889-1112, abridged

καίτοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς;
εἶἑν. πάρειμ' ἐντεῦθεν εἰς τὰς τῆς φύσεως ἀνάγκας.
ἥμαρτες, ἠράσθης, ἐμοίχευσάς τι, κᾆτ' ἐλήφθης.
ἀπόλωλας· ἀδύνατος γὰρ εἶ λέγειν. ἐμοὶ δ᾽ὁμιλῶν
χρῶ τῇ φύσει, σκίρτα, γέλα, νόμιζε μηδὲν αἰσχρόν.
μοιχὸς γὰρ ἢν τύχῃς ἁλούς, τάδ᾽ἀντερεῖς πρὸς αὐτόν,
ὡς οὐδὲν ἠδίκηκας· εἶτ' εἰς τὸν Δί' ἐπανενεγκεῖν,
κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν·
καίτοι σὺ θνητὸς ὢν θεοῦ πῶς μεῖζον ἂν δύναιο;

ΚΡ
τί δ᾽ἢν ῥαφανιδωθῇ πιθόμενός σοι τέφρᾳ τε τιλθῇ;
ἕξει τινὰ γνώμην λέγειν τὸ μὴ εὐρύπρωκτος εἶναι;

ΗΤ
ἢν δ᾽εὐρύπρωκτος ᾖ, τί πείσεται κακόν;

ΚΡ
τί μὲν οὖν ἂν ἔτι μεῖζον πάθοι τούτου ποτέ;

ΗΤ
τί δῆτ' ἐρεῖς, ἢν τοῦτο νικηθῇς ἐμου;

ΚΡ
σιγήσομαι. τί δ᾽ἄλλο;

ΗΤ
φέρε δή μοι φράσον,
συνηγοροῦσιν ἐκ τίνων;

ΚΡ
ἐξ εὐρυπρώκτων.

ΗΤ
πείθομαι.
τί δαί; τραγῳδοῦσ᾽ἐκ τίνων;

ΚΡ

Aristophanes' Clouds 889-1112, abridged

ἐξ εὐρυπρώκτων.

HT

εὖ λέγεις.

δημηγοροῦσι δ᾽ἐκ τίνων;

KP

ἐξ εὐρυπρώκτων.

HT

ἆρα δῆτ᾽

ἔγνωκας ὡς οὐδὲν λέγεις;

καὶ τῶν θεατῶν ὁπότεροι πλείους σκόπει.

KP

καὶ δὴ σκοπῶ.

HT

τί δῆθ᾽ὁρᾷς;

KP

πολὺ πλείονας, νὴ τοὺς θεοὺς,

τοὺς εὐρυπρώκτους. τουτονὶ

γοῦν οἶδ᾽ἐγὼ κἀκεινονὶ

καὶ τὸν κομήτην τουτονί.

HT

τί δῆτ᾽ ἐρεῖς;

KP

ἡττήμεθ᾽. ὦ κινούμενοι,

πρὸς τῶν θεῶν δέξασθέ μου θοἰμάτιον, ὡς

ἐξαυτομολῶ πρὸς ὑμᾶς.

HT

τί δῆτα; πότερα τοῦτον ἀπάγεσθαι λαβὼν

βούλει τὸν υἱόν, ἢ διδάσκω σοι λέγειν;

[Aristophanes’ Clouds](Aristophanes’ Clouds) 889-1112, abridged

ΣΤΡΕΨΙΑΔΗΣ
δίδασκε καὶ κόλαζε καὶ μέμνησ᾽ ὅπως
εὖ μοι στομώσεις αὐτόν, ἐπὶ μὲν θἄτερα
οἷον δικιδίοις, τὴν δ᾽ ἑτέραν αὐτοῦ γνάθον
στόμωσον οἵαν εἰς τὰ μείζω πράγματα.

HT
ἀμέλει, κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.

ΦΕΙΔΙΠΠΙΔΗΣ
ὠχρὸν μὲν οὖν οἶμαί γε καὶ κακοδαίμονα.